λον ξηραντικοί, ἀπὸ δὲ τοῦ δευτέρου στηριγμοῦ μέχρι δύσεως, μᾶλλον ψυκ-
τικοί, δῆλον δὲ ὅτι καὶ ἀλλήλοις συγκιρνάμενοι παμπληθεῖς διαφορὰς ποι-
οτήτων, εἰς τὸ περιέχον ἡμᾶς ἀπεργάζονται, κατακρατούσης μὲν ὡς ἐπί-
παν τῆς ἰδίας ἑκάστου δυνάμεως, τρεπομένης δὲ κατὰ τὸ πόσον ὑπὸ τῆς
τῶν σχηματιζομένων ἐναντιώσεως.

## Περὶ τῆς τῶν ἀπλανῶν δυνάμεως.

Ἑξῆς δὲ ὄντος ἀκολούθου τοῦ καὶ τὰς τῶν ἀπλανῶν φύσεις κατὰ τὸ ἰ-
δίως αὐτῶν ποιητικὸν ἐπιδραμεῖν, ἐκθησόμεθα καὶ τὰς ἐπ' αὐτῶν τετη-
ρημένας ἰδιοτροπίας κατὰ τὸ ὅμοιον ταῖς τῶν πλανωμένων φύσεσι τὸν ἐμ-
φανισμὸν ποιούμενοι. καὶ πρῶτον τὸν περὶ αὐτὸν τὸν ζωδιακὸν ἐχόντων
♈ τὰς μορφώσεις. τοῦ ♈ τοίνυν οἱ μὲν ἐν τῇ κεφαλῇ τὸ ποιητικὸν ὅμοι-
ον ἔχουσι κεκραμένον τῇ τοῦ ♂ καὶ τῇ τοῦ ♄ δυνάμει. οἱ δὲ ἐν τῷ στόματι
♉ τῇ τε τοῦ ☿ καὶ ἠρέμα τῇ τοῦ ♄ οἱ δὲ ἐν τῷ ὀπισθίῳ ποδὶ τῇ τοῦ ♂. οἱ δὲ
ἐπὶ τῆς οὐρᾶς τοῦ τῆς ♀. τοῦ δὲ ♉ οἱ μὲν ἐπὶ τῆς ἀποτομῆς ὁμοίαν
ἔχουσι κρᾶσιν τῷ τῆς ♀ * οἱ δ' ἐν τῇ πλειάδι ¦ τῇ τε τῆς ☾ καὶ
τῇ τοῦ * ♂, τῶν δὲ ἐν τῇ κεφαλῇ ὁ μὲν λαμπρὸς τῶν ὑάδων καὶ ὑ-
♊ πόκιρρος καλούμενος δὲ λαμπαδίας, τῇ τοῦ ♂, τῶν δὲ ἐν τοῖς διδύ-
μοις * ἄστρων οἱ μὲν ἐπὶ τῶν ποδῶν τῆς ὁμοίας κεκοινωνήκασι ποιότητος
τῷ τε τοῦ ☿ καὶ ἠρέμα τῷ τῆς ♀. οἱ δὲ περὶ τοὺς μηροὺς λαμπροί, τῷ τοῦ
♄. τῶν δὲ ἐν ταῖς κεφαλαῖς δύο λαμπρῶν, ὁ μὲν ἐν τῇ προηγουμένῃ
τῇ τοῦ ☿. καλεῖται δὲ καὶ ἀπόλλωνος. ὁ δὲ ἐν τῇ ἑπομένῃ τῷ τοῦ ♂. καλεῖ-
♋ ται δὲ καὶ ἡρακλέους. τῶν δὲ ἐν τῷ ♋ * ἄστρων οἱ μὲν ἐπὶ τῶν ὀφθαλμῶν
δύο τῆς αὐτῆς ἐνεργείας εἰσὶ ποιητικοί, τῇ τε τῇ τοῦ ☿ καὶ ἠρέμα τῷ τοῦ ♂.
οἱ δὲ ἐν ταῖς χηλαῖς τῷ τε τοῦ κρόνου καὶ τῷ τοῦ ☿. ἡ δὲ ἐν τῷ στήθει νεφελοει-
δὴς συστροφὴ καλουμένη δὲ φάτνη, τῷ τε τοῦ ♂ καὶ τῷ τῆς ☾. οἱ δὲ ἑκα-
τέρωθεν αὐτῆς δύο καλούμενοι δὲ ὄνοι, τῷ τοῦ ♂ καὶ ☉. τῶν δὲ ἐν τῷ
♌ λέοντι οἱ μὲν ἐν τῇ κεφαλῇ δύο τὸ ὅμοιον ποιοῦσι τῷ τε τοῦ ♄ καὶ ἠρέμα τῷ
τοῦ ♂, οἱ δὲ ἐν τῷ τραχήλῳ τρεῖς τῷ τοῦ ♄ καὶ ἠρέμα τῷ τοῦ ☿, ὁ δὲ ἐπὶ
τῆς καρδίας λαμπρὸς καλούμενος δὲ βασιλίσκος, τῷ τοῦ ♂ καὶ τῷ τοῦ
♃, οἱ δὲ ἐν τῇ ὀσφύϊ καὶ ὁ ἐπὶ τῆς οὐρᾶς λαμπρός, τῷ τοῦ ♄ καὶ τῷ τῆς
♍ ♀. οἱ δὲ ἐν τοῖς μηροῖς τῷ τῆς ♀ καὶ ἠρέμα τῷ τοῦ ☿. τῶν δὲ κατὰ τὴν ♍ οἱ μὲν
ἐν τῇ κεφαλῇ καὶ ὁ ἐπ' ἄκρας τῆς νοτίου πτέρυγος, ὅμοιον ἔχουσι τὸ ποιητικὸν
τῷ τοῦ